μάτηρ κακόποτ|μος ἐμοὶ
βούλευσεν ὄλεθ|ρον ἀτάρβακτος γυνά,
καῖέ τε δαιδαλέας
ἐκ λάρνακος ὠκύμορον
φιτ|ρὸν †ἐγκλαύσασα· τὸν δὴ
μοῖρ᾽ ἐπέκ|λωσεν τότε
ζωᾶς ὅρον ἁμετέρας ἔμμεν. τύχον μὲν
Δαϊπύλου Κλύμενον
παῖδ᾽ ἄλκιμον ἐξεναρί-
ζων ἀμώμητον δέμας,
πύργων προπάροιθε κιχήσας·
τοὶ δὲ πρὸς εὐκτιμέναν
φεῦγον ἀρχαίαν πόλιν
Πλευρῶνα· μίνῡθεν δέ μοι ψυχὰ γλυκεῖα·
γνῶν δ᾽ ὀλιγοσθενέων,
αἰαῖ· πύματον δὲ πνέων δάκρυσα τλά[μων,
ἀγ|λαὰν ἥβαν προλείπων.“
φασὶν ἀδεισιβόαν
ol 15 (11) Ἀμφιτ|ρύωνος παῖδα μοῦνον δὴ τότε
τέγξαι βλέφαρον, ταλαπενθέος
πότ|μον οἰκτίροντα φωτός·